χθωσαν αἱ ΑΓ ΔΖ ΗΚ· δυνατὸν ἄρα ἐστὶν ἐκ τῶν ἴσων ταῖς
ΑΓ ΔΖ ΗΚ τρίγωνον συστήσασθαι· συνεστάτω τὸ ΛΜΝ·
ὥστε ἴσην εἶναι τὴν μὲν ΑΓ τῇ ΛΜ· τὴν δὲ ΔΖ τῇ ΜΝ·
καὶ ἔτι τὴν ΗΚ τῇ ΛΝ· καὶ περιγεγράφθω περὶ τὸ ΛΜΝ
τρίγωνον κύκλος ὁ ΛΜΝ· καὶ εἰλήφθω αὐτοῦ τὸ κέντρον·
ἔσται δὴ ἤτοι ἐντὸς τοῦ ΛΜΝ τριγώνου· ἢ ἐπὶ μιᾶς τῶν
πλευρῶν αὐτοῦ ἢ ἐκτός· ἔστω πρότερον ἐντὸς καὶ ἔστω
τὸ Ξ· καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ ΜΞ ΝΞ· λέγω ὅτι ἡ ΑΒ μεί-
ζων ἐστὶ τῆς ΛΞ· εἰ γὰρ μή ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ ἢ
ἐλάττων· ἔστω πρότερον ἴση· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ
ΛΞ· ἀλλ' ἡ μὲν ΑΒ τῇ ΒΓ ἐστὶν ἴση· ἡ δὲ ΞΛ τῇ ΞΜ· δύ-
ο δὴ αἱ ΑΒ ΒΓ δύο ταῖς ΛΞ ΞΜ ἴσαι εἰσὶν ἑκατέρα ἑκα-
τέρᾳ· καὶ βάσις ἡ ΑΓ βάσει τῇ ΛΜ ὑπόκειται ἴση·
γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΛΞΜ ἐστὶν ἴ-
ση· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΔΕΖ τῇ ὑπὸ ΜΞΝ
ἐστὶν ἴση· καὶ ἔτι ἡ ὑπὸ ΗΘΚ τῇ ὑπὸ ΝΞΛ· αἱ τρεῖς ἄρα
αἱ ὑπὸ ΑΒΓ ΔΕΖ ΗΘΚ γωνίαι τρισὶ ταῖς ὑπὸ ΛΞΜ ΜΞΝ ./.
ΝΞΛ τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ τρεῖς ἄρα αἱ ὑπὸ
ΑΒΓ ΔΕΖ ΗΘΚ τέτρασιν ὀρθαῖς εἰσὶν ἴσαι· ὑπόκειν-
ται δὲ καὶ τεσσάρων ὀρθῶν ἐλάσσονες· ὅπερ ἄτοπον·
οὐκ ἄρα ἡ ΑΒ τῇ ΛΞ ἴση ἐστίν· λέγω δὴ ὅτι οὐδὲ ἐλάτ-
των ἐστὶν ἡ ΑΒ τῆς ΛΞ· εἰ γὰρ δυνατόν ἔστω καὶ κείσθω
τῇ μὲν ΑΒ ἴση ἡ ΞΟ· τῇ δὲ ΒΓ ἴση ἡ ΞΠ· καὶ ἐπεζεύ-
χθω ἡ ΟΠ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΓ· ἴση ἐστὶ καὶ ἡ
ΞΟ τῇ ΞΠ· ὥστε καὶ λοιπὴ ἡ ΟΛ λοιπῇ τῇ ΠΜ ἐστὶν
ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΛΜ τῇ ΟΠ καὶ ἰσογώ-

./. ΝΞΛ ἴσαι εἰσίν· ἀλλὰ αἱ τρεῖς αἱ ὑπὸ ΛΞΜ ΜΞΝ

νιον τὸ ΛΜΞ τῷ ΟΠΞ· ἔστιν ἄρα ὡς ἡ ΞΛ πρὸς ΛΜ οὕτως
ἡ ΞΟ πρὸς ΟΠ· ἐναλλὰξ ὡς ἡ ΛΞ πρὸς ΞΟ οὕτως ἡ ΛΜ
πρὸς ΟΠ· μείζων δὲ ἡ ΛΞ τῆς ΞΟ· μείζων ἄρα καὶ ἡ ΛΜ
τῆς ΟΠ· ἀλλ' ἡ ΛΜ κεῖται τῇ ΑΓ ἴση· καὶ ἡ ΑΓ ἄρα τῆς
ΟΠ μείζων ἐστίν· ἐπεὶ οὖν δύο αἱ ΑΒ ΒΓ δυσὶ ταῖς ΟΞ ΞΠ
ἴσαι εἰσίν· καὶ βάσις ἡ ΑΓ βάσεως τῆς ΟΠ μείζων ἐστί·
γωνία ἄρα ἡ ὑπὸ ΑΒΓ γωνίας τῆς ὑπὸ ΟΞΠ μείζων
ἐστίν· ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἡ μὲν ὑπὸ ΔΕΖ τῆς
ὑπὸ ΜΞΝ μείζων ἐστίν· ἡ δὲ ὑπὸ ΗΘΚ τῆς ὑπὸ ΝΞΛ· αἱ ἄ-
ρα τρεῖς γωνίαι αἱ ὑπὸ ΑΒΓ ΔΕΖ ΗΘΚ τριῶν τῶν ὑπὸ ΛΞΜ
ΜΞΝ ΝΞΛ μείζονές εἰσιν· ἀλλὰ αἱ ὑπὸ ΑΒΓ ΔΕΖ ΗΘΚ·
τεσσάρων ὀρθῶν ἐλάσσονες ὑπόκεινται· πολλῷ ἄρα
αἱ ὑπὸ ΛΞΜ ΜΞΝ ΝΞΛ τεσσάρων ὀρθῶν ἐλάσσονές εἰ-
σιν· ἀλλὰ καὶ ἴσαι· ὅπερ ἐστὶν ἄτοπον· οὐκ ἄρα ἡ ΑΒ ἐ-
λάσσων ἐστὶ τῆς ΛΞ· ἐδείχθη δὲ ὅτι οὐδὲ ἴση· μείζων
ἄρα ἡ ΑΒ τῆς ΛΞ· ἀνεστάτω δὴ ἀπὸ τοῦ Ξ σημείου
τῷ τοῦ ΛΜΝ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΞΡ·
καὶ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον τοῦ ἀπὸ
τῆς ΛΞ· ἐκείνῳ ἴσον ἔστω τὸ ἀπὸ τῆς ΞΡ· καὶ ἐπε-
ζεύχθωσαν αἱ ΡΛ ΡΜ ΡΝ· καὶ ἐπεὶ ἡ ΡΞ ὀρθή ἐστι πρὸς τὸ
τοῦ ΛΜΝ κύκλου ἐπίπεδον· καὶ πρὸς ἑκάστην ἄρα
τῶν ΛΞ ΜΞ ΝΞ ὀρθή ἐστιν ἡ ΡΞ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ
ΛΞ τῇ ΞΜ· κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΞΡ· ἑκάστη
ἄρα ἡ ΡΛ ἑκάστῃ τῇ ΡΜ ἐστὶν ἴση· διὰ τὰ αὐτὰ δὴ καὶ
ἡ ΡΝ ἑκατέρᾳ τῶν ΡΛ ΡΜ ἐστὶν ἴση· αἱ τρεῖς ἄρα
αἱ ΡΛ ΡΜ ΡΝ ἴσαι ἀλλήλαις εἰσίν· καὶ ἐπεὶ ᾧ μεῖζόν ἐστι

BIBLIOTHECA BODLEIANA